καὶ μύροις μίγνυται· καὶ μάλιστα τῷ λευκίνῳ· καὶ εἰς αὐτὸ δ' ἔτι
ἐμβάλλεται παμπόλλας· ἔνιοι δὲ καὶ αὐτὸ τὸ γυναικεῖον μύρον διπλά-
σιον αὐτὸ ῥοδίνου· λεπτομερὴς γάρ ἐστι καὶ διαφορητικῆς
ἀποθέσεως δυνάμεως: Περὶ βρεττανικῆς πόας.

Βρεττανικῆς τῆς πόας ἐστὶ μὲν καὶ τὰ φύλλα στυπτικά τε καὶ κολλη-
τικὰ τραυμάτων· ὅμοια τοῖς τῶν ἀγρίων λαπάθων· πλὴν ὅσον
μελάντερά τε καὶ δασύτερα φαίνεται· ἔστι δὲ καὶ ὁ ἐξ αὐτῶν
χυλὸς ὁμοίως στυπτικός· ὥστε καὶ ἐς τοῦτο αὐτὸ τὸ ἔργον εἶναι
ταὐτὸν ὥστε δραστικώτατον τῶν στοματικῶν φαρμάκων
ἰᾶται γὰρ δηλονότι καὶ τὰ [ἕλκη] ἐν αὐτῷ σηπόμενα.

Βρόμος ἐστὶ μὲν ἓν τῶν ὀσπρίων· ἀλλ' ὡς φάρμακον ὁμοίαν ἔ-
χει δύναμιν κριθῆς· καταπλαττόμενος γὰρ ξηραίνει καὶ διαφο-
ρεῖ μετρίως τε καὶ ἀδήκτως· ἔστι δὲ καὶ ψυχρότερον ἀτρέμα τῆς κριθῆς
καί τι καὶ στυπτικὸν ἔχει· ὥστε καὶ τὸ καθέψημα διαρροίας ὠφελεῖν:

Περὶ βρύου θαλαττίου

Βρύον θαλάττιον ξηραντικόν ἐστιν ἐντεταμένως ἅμα καὶ ὑδατῶδες
ἐξ ἀμφοτέρων ψυχρόν· συστέλλει γὰρ οἰδήμασι καὶ πᾶσι ὅσα
θερμὰ καταπλαττόμενον ἐναργῶς ἐμψύχει τε καὶ ὠφελεῖ.

Βρύον· ἔνιοι σπλάγχνον, ἀρίσκεται δὲ ἐπὶ δρυσὶ καὶ πεύκαις
καὶ λεύκαις· ἔχει δὲ δύναμιν στυπτικὴν οὐκ ἰσχυράν· οὐδὲ ξηρ[αντικὸν]
ἱκανῶς ἐστιν· ἀλλ' ἐγγύς πως τοῖς μέσοις· ὅτι καὶ διαφορητικῆς τε καὶ
μαλακτικῆς μετείληφε δυνάμεως· καὶ μάλιστα τὸ ἐπὶ τῶν κεδρίνων
εὑρισκομένων ξύλων: ἀρχὴ τοῦ ζ' βιβλίου.

Περὶ γαλλίου

Γάλιον ὠνόμασται μὲν ἀπὸ τοῦ τὸ γάλα πηγνύναι· παραπλήσιον δ' ἐστὶ
ἀπαρίνῃ· δύναμιν ἔχον ξηραντικὴν καὶ ἀποσμηκτικήν· τὸ δὲ ἄνθος
αὐτοῦ πρὸς αἱμορραγίας ἁρμόττειν δοκεῖ· καὶ πυρίκαυτα
ἰᾶται· ἔστι δὲ εὐοσμοῦν καὶ τὴν χροιὰν μήλινον: Περὶ γεντιανῆς

Γεντιανῆς τῆς πόας ἡ ῥίζα δραστήριος ἱκανῶς ἐστιν
ἔνθα χρὴ λεπτῦναί τι καὶ διακαθῆραι καὶ ἀπορρύψαι καὶ
ἐκφράξαι· καὶ οὐδὲν θαυμαστὸν εἰ τοῦτο, πικρὰ σφοδρῶς ὑ-
πάρχουσα.